## ZENODOTUS

### III

τρηχεῖαν κατ᾽ ἐμεῦ, ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
πάντοθεν ἢ σκολιῆς ἄγρια κῶλα βάτου,
ὡς ἐπ᾽ ἐμοὶ μηδ᾽ ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
ἴχνος, ἐρημάζω δ᾽ ἥσυχα κεκλιμένος·
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ᾽ ἀστοῖσι φιληθείς
Τίμων, οὐδ᾽ Ἀίδῃ γνήσιός εἰμι νέκυς.

# MELEAGER

### I

Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδάν,
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθετᾶν στέφανον;
ἄνυσε μὲν Μελέαγρος, ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον ταύταν ἐξεπόνησε χάριν,
πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μοιροῦς
λείρια, καὶ Σαπφοῦς βαιὰ μὲν ἀλλὰ ῥόδα,
νάρκισσόν τε τορῶν Μελανιππίδου ἔγκυον ὕμνων,
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω,
σὺν δ᾽ ἀναμὶξ πλέξας μυρόπνουν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις κηρὸν ἔτηξεν Ἔρως·
τῇ δ᾽ ἅμα καὶ σάμψυχον ἀφ᾽ ἡδυπνόοιο Ῥιανοῦ,
καὶ γλυκὺν Ἠρίννης παρθενόχρωτα κρόκον,
Ἀλκαίου τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
καὶ Σαμίου δάφνης κλῶνα μελαμπέταλον.
ἐν δὲ Λεωνίδεω θαλεροὺς κισσοῖο κορύμβους,
Μνασάλκου τε κόμας ὀξυτόρου πίτυος,